οὐδὲν ἔδωκεν, ὡς ἀποδεδωκὼς τὴν χάριν· Ὅσον γάρ, ἔφη, χρό-
νον εὔφραινες ᾄδων, τοσοῦτον ἔχαιρες ἐλπίζων. Τοῦτον δὲ τὸν ἔ- 12
ρανον αἱ τοιαῦται πληροῦσιν ἀκροάσεις τοῖς λέγουσι· θαυμάζον-
ται γάρ, ἐφ' ὅσον τέρπουσιν, εἶτα ἅμα τῆς ἀκοῆς ἐξεῤῥύη τὸ ἡ-
δύ, κἀκεῖνος προλέλοιπεν ἡ δόξα, καὶ μάτην τοῖς μὲν ὁ χρόνος,
τοῖς δὲ καὶ ὁ βίος ἀνάλωται.

η΄. Διὸ δεῖ τὸ πολὺ καὶ κενὸν ἀφαιροῦντα τῆς λέξεως αὐτὸν
διώκειν τὸν καρπὸν καὶ μιμεῖσθαι μὴ τὰς στεφηπλόκους, ἀλλὰ
τὰς μελίσσας. Αἱ μὲν γὰρ ἐπινοοῦσαι τὰ ἀνθηρὰ καὶ εὐώδη 2
τῶν φύλλων, συνείρουσι καὶ διαπλέκουσιν ἡδὺ μέν, ἐφήμερον δὲ
καὶ ἄκαρπον ἔργον· αἱ δέ, πολλάκις ἴων καὶ ῥόδων καὶ ὑακίν-
θων διαπετόμεναι λειμῶνας, ἐπὶ τὸν τραχύτατον καὶ δριμύτα-
τον θύμον καταίρουσι, καὶ τούτῳ προσκάθηνται,

Ξανθὸν μέλι μηδόμεναι,

καὶ λαβοῦσαί τι τῶν χρησίμων, ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔρ-
γον. Οὕτω δὴ δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατὴν τὰ μὲν 3
ἀνθηρὰ καὶ τρυφερὰ τῶν ὀνομάτων, καὶ τῶν πραγμάτων τὰ
δραματικὰ καὶ πανηγυρικά, κηφήνων βοτάνην σοφιστιώντων ἡ-
γούμενον ἐᾶν· αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν
τοῦ λόγου, καὶ τὴν διάθεσιν τοῦ λέγοντος, ἕλκειν ἀπ' αὐτῆς τὸ χρή-
σιμον καὶ ὠφέλιμον, μεμνημένον, ὡς οὐκ εἰς θέατρον οὐδὲ ᾠ-
δεῖον, ἀλλ' εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν
βίον ἐπανορθωσόμενος. Ὅθεν δὴ καὶ ποιητέον ἐπίσκεψιν καὶ κρί- 4

---

μαίνωσι καὶ τῶν ἄλλων αἰσθήσεων τὴν ἐνέργειαν, ὡς καὶ τὴν τοῦ νοός.

12. Ἔρανον) Ἔρανος κατὰ Κοραῆν (ἐν Χ. Θεοφρ. σελ. 166) ἐκαλεῖτο Α) τὸ ἐκ συνεισφορᾶς τῶν συνδαιτυμόνων δεῖπνον, ἔτι δὲ καὶ τὸ ὑπὸ φίλων ἀμοιβαίως ποιούμενον, ὡς Ἡσύχιος λέγει « ἔρανος τὸ ἐκ συμβολῆς δεῖπνον, ἢ τὸ ἀνὰ μέρος δεῖπνον. Β) Ἅπαντες οἱ κάτοικοι τῆς Ἀττικῆς ἦσαν διῃρημένοι εἰς 174 Δήμους, ὑπαγομένους εἰς 10 φυλάς· ἑκάστη δὲ τούτων ἦτο διῃρημένη εἰς 3 Φρατρίας, καὶ ἑκάστη τῶν Φατριῶν εἰς 30 Γένη. Οἱ ἐκ τοῦ αὐτοῦ δὲ Δήμου πολῖται Δημόται, οἱ ἐκ τῆς αὐτῆς Φυλῆς Φυλέται, οἱ ἐκ τῆς αὐτῆς Φρατρίας Φράτορες, καὶ τελευταῖον οἱ ἐκ τοῦ αὐτοῦ γένους Γεννῆται ἐκαλοῦντο, ἔχοντες ἅπαντες ναούς, ἑορτὰς καὶ θυσίας ἰδίας. Εἰς δαπάνην δὲ τῶν ἰδίων τούτων ἑορτῶν καὶ θυσιῶν, καὶ τῶν μετ' αὐτὰς δείπνων, ἔπρεπεν ἕκαστος κατὰ μῆνα νὰ συνεισφέρῃ ὡρισμένην τινὰ χρημάτων ποσότητα, ἂν δὲ δὲν ἤθελεν, ἠναγκάζετο ὑπὸ τοῦ καλουμένου Ἐρανικοῦ Νόμου. Αὕτη δὲ ἡ ποσότης, ὡς καὶ τὰ μετὰ τὰς θυσίας δεῖπνα, ἐκαλεῖτο ἔρανος. Γ) Ἔρανος ἐκαλεῖτο καὶ ἡ εἰσφορά, τὴν ὁποίαν πολλοί τινες φίλοι, εἰσέφερον διὰ νὰ βοηθήσωσι δυστυχήσαντα φίλον· καὶ Δ) ὁ φόρος, τὸν ὁποῖον ἕκαστος τῶν πολιτῶν κατὰ τὰς προσόδους του ἔφερεν εἰς τὸ δημόσιον.

η. Τὸ πολὺ καὶ κενὸν) Τὸ «πολὺ» δὲν σημαίνει ὅ,τι «πολλὴ λέξις» (ἀφθονία λόγου) ἀνωτέρω, ἀλλ' ἁπλῶς ὡς ἐπίθετον ἀναφέρεται εἰς τὸ «κενόν», ὥστε «τὸ πολὺ καὶ κενὸν» ἰσοδυναμεῖ μὲ τὸ « τὸ πολὺ κενόν,» ἐπειδὴ ὁ «καὶ» δὲν συμπλέκει, ἀλλ' ἐντείνει μόνον, ὡς καὶ ἀλλαχοῦ δύναταί τις νὰ εὕρῃ τὸν τοιουτότροπον «καὶ» «οἷον πολλοὶ καὶ σοφοί· πολλὰ καὶ ἀγαθά.»

3. Καθαρὸν) Καθαρὸς ἀκροατὴς λέγεται, ὅστις οὔτε ἀπὸ ἔννοιαν πρὸς τὸν λέγοντα διὰ τὸ καλλιεπές, ἢ καὶ δι' ἄλλην τινὰ αἰτίαν ἐπαινεῖ καὶ ἐγκρίνει τὰ λεγόμενα, οὔτε πάλιν ἀπὸ μῖσος καταφέρεται, ἀλλ' ἐξετάζει αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα.

σιν τῆς ἀκροάσεως ἐξ αὐτοῦ, καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ἀ-
ναλογιζόμενον, εἴτι τῶν παθῶν γέγονε μαλακώτερον, εἴτι τῶν
ἀνιαρῶν κουφότερον, εἰ θάρσος, εἰ φρόνημα βέβαιον, εἰ πρὸς
5 ἀρετὴν καὶ τὸ καλὸν ἐνθουσιασμός. Οὐ γὰρ ἐκ κουρείου μὲν ἀ-
ναστάντα δεῖ τῷ κατόπτρῳ παραστῆναι, καὶ τῆς κεφαλῆς ἅ-
ψασθαι, τὴν περικοπὴν τῶν τριχῶν ἐπισκοποῦντα καὶ τῆς κουρᾶς
τὴν διαφοράν· ἐκ δὲ ἀκροάσεως ἀπιόντα καὶ σχολῆς, οὐκ εὐθὺς
ἀφορᾶν χρὴ πρὸς ἑαυτόν, καταμανθάνοντα τὴν ψυχήν, εἴτι τῶν
ὀχληρῶν ἀποτεθειμένη καὶ περιττῶν ἐλαφροτέρα γέγονε καὶ ἡ-
6 δίων. Οὔτε γὰρ βαλανείου, φησὶν ὁ Ἀρίστων, οὔτε λόγου μὴ
καθαίροντος ὄφελός ἐστιν.

Θ'. Ἡδέσθω μὲν οὖν ὑπὸ λόγων ὠφελούμενος ὁ νέος· οὐ δεῖ
δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος· οὐδὲ οἴεσθαι δεῖν ἐκ
σχολῆς ἀπιέναι φιλοσόφου μινυρίζοντα καὶ γεγανωμένον· οὐδὲ
ζητεῖν μυρίζεσθαι, δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος· ἀλ-
λὰ χάριν ἔχειν, ἐάν τις, ὥσπερ καπνῷ σμῆνος, λόγῳ δριμεῖ τὴν
διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθάρῃ.
2 Καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παντάπασιν ἡδονὴν ἐχού-
σης καὶ πιθανότητα, λέξεως παραμελεῖν, ἐλάχιστα τούτου φρον-
3 τιστέον ἐστὶ τῷ νέῳ, τό γε πρῶτον. Ὕστερον δέπου, καθάπερ
οἱ πίνοντες, ὅταν παύσωνται διψῶντες, τότε τὰ τορεύματα τῶν
ἐκπωμάτων ὑποθεωροῦσι καὶ στρέφουσιν, οὕτως ἐμπλησθέντι
δογμάτων καὶ ἀναπνεύσαντι δοτέον τὴν λέξιν, εἴτι κομψὸν ἔχει
4 καὶ περιττόν, ἐπισκοπεῖν. Ὁ δ' εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγ-
μασιν ἐμφυόμενος, ἀλλὰ τὴν λέξιν Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰ-
σχνήν, ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγ-
γεῖον ἐκ τῆς Ἀττικῆς Κωλιάδος ᾖ κεκεραμευμένον· μηδὲ ἱμά-
τιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ προβάτων Ἀττικῶν εἴη τὸ ἔ-
ριον· ἀλλ', ὥσπερ ἐν τρίβωνι Λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ,

---

6. Ἀρίστων) Στωϊκὸς φιλόσοφος Χῖος, μαθητὴς τοῦ Ζήνωνος, καὶ θεμελιωτὴς Σχολῆς φιλοσοφικῆς, ἥτις ἐπλησίαζε μᾶλλον πρὸς τὴν τῶν Κυνικῶν.

Θ'. Μινυρίζοντα) «Μινυρίζειν» ἐκ τοῦ «μινύειν» ἐλαττοῦν σημαίνει κατὰ Σουΐδαν «ὀλίγῃ τῇ φωνῇ χρῆσθαι, θρηνεῖν,» ἔτι δὲ καὶ «ἠρέμα ᾄδειν», ὡς ἐνταῦθα. Ἡ δὲ ἔννοια τοιαύτη τις· «ἤδη τις καὶ ὑπὸ αὐλημάτων ἀνὴρ ἄμουσος διετέθη μουσικῶς, καὶ τὰ ὦτα ἔναυλος ὢν διαμέμνηται τοῦ μέλους, καὶ μινυρίζει πρὸς ἑαυτόν.

—Γεγανωμένον) «Γανόω» ἀπαυγάζω, φαιδρύνω, ἐκ τοῦ «γάνος», ἀπαύγασμα, φαιδρότης. Ὅθεν «ἐγανώθη», ἐφαιδρώθη.

— Σμῆνος) Καθὼς οἱ μελιτουργοὶ ἀποδιώκουσι τὰς μελίσσας διὰ τοῦ καπνοῦ, ὅταν δρέπωνται τὸ μέλι.

3. Ἀναπνεύσαντι) Τουτέστι τῶν ταραχῶν καὶ παθῶν τῆς ψυχῆς.

4. Κωλιάδος) Κωλιάς, ἄκρα τις κατὰ τὸ Φάληρον τῆς Ἀττικῆς, ἔνθα ἐκεραμεύοντο περίφημα παρὰ τοῖς ἀρχαίοις ἀγγεῖα.

—Ἔριον) Καὶ ὁ Συνέσιος εἴς τινα τῶν πρὸς τὸν αὐτάδελφόν του ἐπιστολῶν ζητεῖ «στολὰς Ἀττικουργεῖς», ἐξεχούσας μᾶλλον κατὰ τὴν ἐργασίαν ἢ τὸ ἔριον.

—Τρίβωνι Λυσι. . .) Τοιαύτη τις ἡ διά-

καθήμενος, ἄπρακτος καὶ ἀκίνητος. Ταῦτα γὰρ τὰ νοσήματα 5
πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερ-
θρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε· τῶν μειρακίων,
οὔτε βίον, οὔτε πρᾶξιν, οὔτε πολιτείαν φιλοσόφου παραφυλατ-
τόντων ἀνδρός, ἀλλὰ λέξεις καὶ ῥήματα, καὶ τὸ καλῶς ἀπαγ-
γέλειν, ἐν ἐπαίνῳ τιθεμένων, τὸ δὲ ἀπαγγελλόμενον εἴτε χρήσι-
μον, εἴτε ἄχρηστον, εἴτε ἀναγκαῖον, εἴτε κενόν ἐστι καὶ περιτ-
τόν, οὐκ ἐπισταμένων, οὐδὲ βουλομένων ἐξετάζειν.

ι. Ἀκολουθεῖ δὲ τούτοις τὸ περὶ τῶν προβλημάτων παράγγελ-
μα. Δεῖ γὰρ τὸν ἐπὶ δεῖπνον ἥκοντα τοῖς παρακειμένοις χρῆ- 2
σθαι, καὶ μηδὲν αἰτεῖν ἄλλο, μηδ' ἐξελέγχειν· ὁ δ' ἐπὶ λόγων
ἀφιγμένος ἑστίασιν, ἂν μὲν ἐπὶ ῥητοῖς, ἀκροάσθω σιωπῇ τοῦ λέ-
γοντος· οἱ γὰρ εἰς ἄλλας ὑποθέσεις ἐξάγοντες καὶ παρεμβάλ-
λοντες ἐρωτήματα, καὶ προσδιαποροῦντες, οὐχ ἡδεῖς οὐδὲ εὐ-
συνάλλακτοι πρὸς ἀκρόασιν ὄντες, ὠφελοῦνται μὲν οὐδέν, τὸν
δὲ λέγοντα καὶ τὸν λόγον ὁμοῦ συνταράσσουσιν· ὅταν δὲ τοὺς
ἀκούοντας ὁ λέγων ἐρωτᾷν καὶ προβάλλειν κελεύσῃ, χρήσιμόν
τι δεῖ καὶ ἀναγκαῖον ἀεὶ προβάλλοντα φαίνεσθαι. Ὁ μὲν γὰρ 3
Ὀδυσσεὺς καταγελᾶται παρὰ τοῖς μνηστῆρσιν,

Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας·

μεγαλοψυχίας γὰρ ἡγοῦντο σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγά-
λων, καὶ τὸ αἰτεῖν. Μᾶλλον δ' ἄν τις ἀκροατοῦ καταγελάσειεν 4
εἰς μικρὰ καὶ γλίσχρα προβλήματα τὸν διαλεγόμενον κινοῦντος.
Οἷα τερθρευόμενοί τινες τῶν νέων, καὶ παρεπιδεικνύμενοι διαλεκ- 5
τικὴν ἢ μαθηματικὴν ἕξιν, εἰώθασι προβάλλειν περὶ τῆς τῶν ἀο-
ρίστων τομῆς, καὶ τίς ἡ κατὰ πλευρὰν ἢ κατὰ διάμετρον κίνη-
σις. Πρὸς οὓς ἐστιν εἰπεῖν τὸ ὑπὸ Φιλοτίμου πρὸς τὸν ἔμπυον 6
καὶ φθισιῶντα ῥηθέν. Ἐπεὶ γὰρ ἐλάλησεν αὐτῷ φαρμάκιον αἰ-

---

ταξις τῆς φράσεως· «ἀλλ' ἐν Λυσιακῷ λόγῳ, ὥσπερ τρίβωνι λεπτῷ καὶ ψιλῷ, κάθηται ἄπρακτος καὶ ἀκίνητος». Ὁ δὲ νοῦς· ἀλλὰ καθὼς οὗτος εἰς καιρὸν χειμῶνος ἐνδεδυμένος ἱμάτιον λεπτὸν καὶ ψιλὸν κάθηται ἄπρακτος καὶ ἀκίνητος διὰ τὸ ψῦχος, τοιουτοτρόπως ἐκεῖνος εὐχαριστούμενος εἰς Λυσιακὴν φράσιν, δὲν φροντίζει παντάπασι περὶ τῶν πραγμάτων, μηδὲ θέλει νὰ ἐνεργήσῃ τι.

5. Τερθρεία) Κατὰ τὸν ἐτυμολόγον τερθρεία, γοητεία, περιπάθεια, παρὰ τὸ τέρας, τέρατος, τερατεύω, τερατεία. Ὁ δὲ Ἡσύχιος ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ λογομαχία, ἀπάτη, φλυαρία, φιναρία.

ι. Προβλημάτων) Τουτέστι τῶν προβλημάτων, τὰ ὁποῖα οἱ ἀκροαταὶ προβάλλουσιν εἰς τὸν διδάσκοντα διὰ νὰ τὰ λύσῃ.

2. Παρακειμένοις) Τὰ ἐπὶ τῆς τραπέζης παρατεθειμένα σῖτα λέγονται τὰ παρακείμενα.

—Εὐσυνάλλακτοι) Ἐκεῖνοι, μετὰ τῶν ὁποίων εὐκόλως δύναταί τις νὰ ἔλθῃ εἰς συμπεριφοράν, ἄλλως «εὐκοινώνητοι, εὐσύμβολοι, εὐσυμπερίφοροι, εὐεπίμικτοι, εὐέντευκτοι» λεγόμενοι.

5. Τῆς τῶν ἀορ. τομῆς) Ἴδε Διογ. Λαέρτ. VII. 197, 69, 70, 82, 196.

τῶν πρὸς παρωνυχίαν, αἰσθόμενος ἀπὸ τῆς χρόας καὶ τῆς ἀναπνοῆς τὴν διάθεσιν, «Οὐκ ἔστι σοι, φησίν, ὦ βέλτιστε, περὶ πα-
7 ρωνυχίας ὁ λόγος». Οὐδέ σοι τοίνυν, ὦ νεανία, περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν· ἀλλὰ πῶς οἰήματος καὶ ἀλαζονείας, ἐρώτων τε καὶ φλυαρίας ἀπολυθείς, εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σεαυτόν.

ιά. Εὖ μάλα δὲ χρὴ καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι, ποιεῖσθαι τὰς ἐρωτήσεις· καὶ μὴ παραβιάζεσθαι τὸν μὲν ἠθικώτερον φιλοσοφοῦντα, φυσικὰς ἐπάγοντα καὶ μαθηματικὰς ἀπορίας· τὸν δὲ τοῖς φυσικοῖς σεμνυνόμενον, εἰς συνημμένων ἐπι-
2 κρίσεις ἕλκοντα, καὶ ψευδομένων λύσεις. Ὡς γὰρ ὁ τῇ κλειδὶ τὰ ξύλα σχίζειν, τῇ δὲ ἀξίνῃ τὴν θύραν ἀνοίγειν πειρώμενος οὐκ ἐκεῖνα δόξειεν ἂν ἐπηρεάζειν, ἀλλ' αὐτὸν ἀποστερεῖν τῆς ἑκατέρου χρείας καὶ δυνάμεως· οὕτως οἱ παρὰ τοῦ λέγοντος, ὃ μὴ πέφυκε μηδὲ ἤσκησεν, αἰτοῦντες, ὃ δ' ἔχει καὶ δίδωσι, μὴ δρεπόμενοι μηδὲ λαμβάνοντες, οὐ τοῦτο βλάπτονται μόνον, ἀλλὰ καὶ κακοήθειαν καὶ δυσμένειαν προσοφλισκάνουσιν.

ιβ́. Φυλακτέον δὲ καὶ τὸ πολλὰ καὶ πολλάκις αὐτὸν προβάλλειν·
2 ἔστι γὰρ καὶ τοῦτο τρόπον τινὰ παρεπιδεικνυμένου. Τὸ δὲ ἑτέρου προτείνοντος ἀκροᾶσθαι μετ' εὐκολίας, φιλολόγου καὶ κοινωνικόν· ἐὰν μή τι τῶν ἰδίων ἐνοχλῇ καὶ κατεπείγῃ πάθος ἐπισχέ-
3 σεως δεόμενον, ἢ νόσημα παρηγορίας. Τάχα μὲν γὰρ οὐδὲ ἀμαθίην κρύπτειν ἄμεινον, ὥς φησιν Ἡράκλειτος, ἀλλ' εἰς μέ-
4 σον τιθέναι καὶ θεραπεύειν. Ἂν δὲ ὀργή τις ἢ προσβολὴ δεισιδαιμονίας, ἢ διαφορὰ πρὸς οἰκείους σύντονος, ἢ περιμανὴς ἐξ ἔρωτος ἐπιθυμία,

Κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν,

ἐπιταράξῃ τὴν διάνοιαν, οὐ φευκτέον εἰς ἑτέρους λόγους ἀποδιδράσκοντας τὸν ἔλεγχον· ἀλλὰ περὶ αὐτῶν τούτων ἀκουστέον ἐν ταῖς διατριβαῖς, καὶ μετὰ τὰς διατριβάς, ἰδίᾳ προσιόντας αὐ-
5 τοὺς καὶ προσανακρίνοντας. Ἀλλὰ μὴ τοὐναντίον, ὥσπερ οἱ πολλοὶ χαίρουσι τοῖς φιλοσόφοις περὶ ἄλλων διαλεγομένοις, καὶ θαυμάζουσιν· ἐὰν δὲ τοὺς ἄλλους ἐάσας ὁ φιλόσοφος αὐτοῖς ἐκείνοις ἰδίᾳ παῤῥησιάζεται περὶ τῶν διαφερόντων, καὶ ὑπομιμνήσκῃ, δυσχεραίνουσι καὶ περίεργον νομίζουσιν· ἐπιεικῶς γάρ, ὥσπερ τῶν τραγῳδῶν ἐν τοῖς θεάτροις, καὶ τῶν φιλοσόφων ἐν

---

Περὶ δὲ τοῦ «συνημμένων ἐπικρίσεις τῶν ψευδομένων λύσεις», ἰδὲ τὸν αὐτόν, VII, 69—75.

ιβ́. 2. Μετ' εὐκολίας) Φιλοφρόνως.
5. Ἐπιεικῶς) Ὡς ἐπὶ τὸ πολύ, συνήθως σχεδόν.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

ταῖς σχολαῖς οἴονται δεῖν ἀκούειν, ἐν δὲ τοῖς ἔξω πράγμασιν οὐδὲν αὐτοὺς ἑαυτῶν διαφέρειν ἡγοῦνται· πρὸς μὲν τοὺς σοφιστὰς εἰκότως τοῦτο πεπονθότες· ἀναστάντες γὰρ ἀπὸ τοῦ θρόνου, καὶ ἀποθέμενοι τὰ βιβλία, καὶ τὰς εἰσαγωγάς, ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι μικροὶ καὶ ὑπὸ χεῖρα φαίνονται τοῖς πολλοῖς· περὶ δὲ τῶν ὄντως φιλοσόφων ἀγνοοῦντες, ὅτι καὶ σπουδὴ καὶ παιδιά, καὶ νεῦμα, καὶ μειδίαμα, καὶ σκυθρωπασμὸς αὐτῶν, μάλιστα δ' ὁ πρὸς ἕκαστον ἰδίᾳ περαινόμενος λόγος, ἔχει τινὰ καρπὸν ὠφέλιμον τοῖς ὑπομένειν καὶ προσέχειν ἐθισθεῖσι.

ιγ'. Δεῖται δὲ καὶ τὸ περὶ τοὺς ἐπαίνους καθῆκον εὐλαβείας
τινὸς καὶ μετριότητος· διὰ τὸ μήτε τὴν ἔλλειψιν αὐτοῦ, μήτε
τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. Βαρὺς μὲν γὰρ ὁ ἀκροατὴς 2
καὶ φορτικός, ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτενὴς τὸ λεγόμενον,
οἰήματος ὑπούλου καὶ περιαυτολογίας ἐνδιαθέτου μεστός· ὡς
ἔχων τὶ τῶν λεγομένων βέλτιον εἰπεῖν, μήτε ὀφρὺν κατὰ σχῆμα κινῶν, μήτε φωνὴν εὐγνώμονος μάρτυρα φιληκοΐας προϊέμενος, ἀλλὰ σιγῇ καὶ βαρύτητι καταπλάστῳ καὶ σχηματισμῷ θηρώμενος δόξαν εὐσταθοῦς καὶ βάθος ἔχοντος ἀνδρός· ὥσπερ χρημάτων, τῶν ἐπαίνων, ὅσον ἄλλῳ μεταδίδωσιν, αὐτοῦ δοκῶν
ἀφαιρεῖσθαι. Πολλοὶ γάρ εἰσιν οἱ κακῶς καὶ παρὰ μέλος τὴν 3
Πυθαγόρου φωνὴν ὑπολαμβάνοντες. Ἐκεῖνος μὲν γὰρ ἐκ φιλοσο- 4
φίας ἔφησεν αὐτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν. Οὗτοι δὲ 5
τὸ μηδένα ἐπαινεῖν, μηδὲ τιμᾷν ἐν τῷ καταφρονεῖν τιθέμενοι,
καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν. Ὁ γὰρ φιλόσοφος λόγος 6
τὸ μὲν ἐξ ἀπορίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαίρει,
γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δὲ εὔκολον καὶ
μέγα καὶ φιλάνθρωπον οὐκ ἀπόλλυσι. Τοῖς γὰρ ἀληθινῶς καὶ 7
βεβαίως ἀγαθοῖς τιμή τε καλλίστη, τὸ τιμῆσαί τινα τῶν ἀξίων·
καὶ κόσμος εὐπρεπέστατος, τὸ ἐπικοσμῆσαι, περιουσίᾳ δόξης
καὶ ἀφθονίᾳ γινόμενον. Οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαι- 8

---

— Ἀπὸ τοῦ θρόνου) Ἀπὸ καθέδρας Διότι οἱ διδάσκοντες ἐδίδασκον καθήμενοι ἢ ἱστάμενοι ἐπὶ καθέδρας. Περὶ δὲ τοῦ Σωκράτους λέγει ὁ συγγραφεύς. »Σωκράτης γοῦν οὔτε βάθρα θεὶς, οὔτε εἰς θρόνον καθίσας, οὔτε διατριβῆς, ἢ περιπάτου τοῖς γνωρίμοις τεταγμένην φυλάττων ἐφιλοσόφει.«

— Ὑπὸ χεῖρα) Ἄλλως ὑποχείριος.

— Τοῖς πολλοῖς) Οἱ πολλοί, ὁ ὄχλος.

ιγ'. 2. Οἰήματος) Οἴημα, ἡ περὶ ἑαυτοῦ μεγάλη ἰδέα τινός· μεστὸς ἀλαζονείας ἐγκρύφου.

— Ἐνδιαθέτου) Περιαυτολογία ἐνδιάθετος, εἶναι τὸ νὰ ἐπαινῇ τις ἑαυτὸν ἐνδιαθέτως.

— Κατὰ σχῆμα) Εὐσχημόνως.

3. Παρὰ μέλος) Παρὰ τὸ δέον.

5. Οὗτοι δὲ . . .) Τῶν φιλολόγων τις ἀναγινώσκει. »Οὗτοι δὲ ἐν τῷ μηδένα ἐπιαινεῖν μηδὲ τιμᾷν τὸ φρονεῖν τιθέμενοι, τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν.»

9 νους ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων. Ὁ δ᾽ ἐναντίος
τούτων αὖ πάλιν, μηδὲν ἐπικρίνων, ἀλλὰ κατὰ ῥῆμα καὶ συλ-
λαβὴν ἐφιστάμενος καὶ κεκραγὼς, ἐλαφρός τις ὢν καὶ ὀρνεώδης,
πολλάκις μὲν οὐδὲ αὐτοῖς ἀρέσκει τοῖς ἀγωνιζομένοις, ἀεὶ δὲ
λυπεῖ τοὺς ἀκροωμένους, ἀνασοβῶν καὶ συνεξανιστὰς παρὰ
γνώμην, οἷον ἑλκομένους βίᾳ δι᾽ αἰδῶ καὶ συνεπιχοῦντας· οὐ-
δὲν δὲ ὠφεληθεὶς, διὰ τὸ ταραχώδη καὶ πολυπτόητον αὐτῷ
περὶ τοὺς ἐπαίνους γεγονέναι τὴν ἀκρόασιν, ἀπέρχεται τῶν τριῶν
ἓν φερόμενος· εἴρων γὰρ, ἢ κόλαξ, ἢ περὶ λόγους ἀπειρόκαλος, ἔδο-
10 ξεν εἶναι. Δίκην μὲν οὖν δικάζοντα δεῖ μήτε πρὸς ἔχθραν τινὰ,
μήτε πρὸς χάριν ἀκούειν, ἀλλ᾽ ἀπὸ γνώμης πρὸς τὸ δίκαιον· ἐν δὲ
ταῖς φιλολόγοις ἀκροάσεσιν οὔτε νόμος οὐδεὶς, οὔτε ὅρκος ἡμᾶς ἀ-
11 πείργει μὴ μετ᾽ εὐνοίας ἀποδέχεσθαι τὸν διαλεγόμενον. Ἀλλὰ
καὶ τὸν Ἑρμῆν ταῖς Χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μά-
λιστα τοῦ λόγου τὸ κεχαρισμένον καὶ προσφιλὲς ἀπαιτοῦντος.
12 Οὐδὲ γὰρ οἷόν τε παντελῶς οὕτως ἐκβόλιμον εἶναι τὸν λέγοντα
καὶ διημαρτημένον, ὥστε μήτε νοῦν τινα παρασχεῖν ἄξιον ἐ-
παίνου, μήτε ἀπομνημόνευσιν ἑτέρων, μήτε αὐτὴν τὴν ὑπόθεσιν
τοῦ λόγου καὶ προαίρεσιν, ἀλλὰ μηδὲ λέξιν ἢ διάθεσιν τῶν
λεγομένων·

Ὡς ἂν᾽ ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
Φύονται μαλακῶν ἄνθεα λευκοΐων.

13 Ὅπου γὰρ ἐμέτου τινὲς ἐγκώμια καὶ πυρετοῦ, καὶ νὴ Δία χύ-
τρας ἐπιδεικνύμενοι πιθανότητος οὐκ ἀμοιροῦσιν· ἤπου λόγος
ὑπ᾽ ἀνδρὸς ἄλλως γέ πως δοκοῦντος, ἢ καλουμένου, φιλοσόφου
περαινόμενος, οὐκ ἂν ὅλως ἀναπνοήν τινα καὶ καιρὸν ἀκροαταῖς
14 εὐμενέσι καὶ φιλανθρώποις παράσχοι πρὸς ἔπαινον; Οἱ γοῦν ἐν
ὥρᾳ πάντες, ὥς φησιν ὁ Πλάτων, ἁμηγέπη δάκνουσι τὸν ἐρωτι-
κόν· καὶ λευκὸς μὲν θεῶν παῖδας ἀνακαλῶν, μέλανας δὲ ἀν-

9. Ὀρνεώδης) Ὅστις ἔχει εἶδος ὀρνίθων, ὅστις εἶναι ὅμοιος μὲ ὄρνεις.

12. Ἐχινόποδας) Εἶδός τι φυτοῦ ἀκανθώδους, ὡς καὶ ἡ ὄνωνις, ἥτις καὶ ὀνωνὶς καὶ αἴωνις λέγεται.

13. Ἐμέτου) Πολλοὶ τῶν σοφιστῶν ἐπιδείξεως ἕνεκα ἠγωνίζοντο τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ νὰ παραστήσωσι, νομίζοντες τοῦτο δεινότητα λόγου. Τινὲς δὲ καὶ ἐγκώμια ἔγραψαν πραγμάτων μικρῶν καὶ οὐδενὸς ἀξίων· « εἰδὲ βούλει ἐνσκέψασθαι τοὺς χρηστοὺς σοφιστάς. — Ἀλλ᾽ ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν. Πλάτ. Συμ. τῶν μὲν γὰρ τοὺς βομβυλίους, καὶ τοὺς ἅλας, καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν. Ἰσοκρ. Ἑλ. ἐγκωμ. Φαβορῖνος δέ τις φιλόσοφος φίλος τοῦ συγγραφέως, ὅστις ἐνησχολεῖτο ὡς ἐπὶ τὸ πολὺ εἰς συγγραφὴν ἐπαίνων τοιούτων πραγμάτων, καὶ πυρετοῦ ἐγκώμιον ἔγραψε. Περὶ δὲ Ἀγριππίνου τινὸς λέγει ὁ Στοβαῖος· « οὗτος δ᾽ ἔφη, ὁ ἀνὴρ τοιοῦτος ὢν ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου ἔπαινον γράφειν. Εἰ μὲν πυρέττοι πυρετοῦ· εἰ δὲ ἀδοξοῖ ἀδοξίας· εἰ δὲ φύγοι, φυγῆς. »

θρικούς, καὶ τὸν γρυπὸν βασιλικόν, καὶ τὸν σιμὸν ἐπίχαριν, τὸν δὲ ὠχρὸν ὑποκοριζόμενος μελίχρουν, ἀσπάζεται καὶ ἀγαπᾷ· δεινὸς γάρ ἐστιν ὁ ἔρως, ὥσπερ ὁ κιττός, αὑτὸν ἐκ πάσης ἀναδῆσαι προφάσεως. Πολὺ δὴ μᾶλλον ὁ φιλήκοος καὶ φιλολό- 15
γος ἀεί τινος αἰτίας εὑρετικὸς ἔσται, δι' ἣν οὐκ ἀπὸ τρόπου τῶν λεγόντων ἕκαστον ἐπαινῶν φανεῖται. Καὶ γὰρ ὁ Πλάτων τὸν 16
Λυσίου λόγον οὔτε κατὰ τὴν εὕρεσιν ἐπαινῶν, καὶ τῆς ἀταξίας αἰτιώμενος, ὅμως αὐτοῦ τὴν ἀπαγγελίαν ἐπαινεῖ, καὶ ὅτι τῶν νομάτων σοφῶς καὶ στρογγύλως ἕκαστον ἀποτετόρνευται. Μέμ- 17
ψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιΐαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν· ὥσπερ ἀμέλει καὶ τῶν ῥητόρων ἐστὶ ὁ μὲν οὐκ ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ' ἐνδεὴς χαρίτων· ἕκαστός γε μὴν ἐπαινεῖται κατὰ τὸ ἴδιον τῆς δυνάμεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν. Ὥστε καὶ τοῖς ἀκούου- 18

15. Ἀπὸ τρόπου) Ἡ ἀπὸ τρόπου, ἔνθα ἡ ἀπὸ ἀντὶ τοῦ ἄνευ τίθεται.

16. Ἀπαγγελ.) Τινὲς ἐπαγγελίαν ἡμαρτημένως ἔγραψαν. Σημαίνει δὲ ἀπαγγελίαν ἐνταῦθα τὴν ὕφην τοῦ λόγου ὡς πρὸς τὴν σύνθεσιν καὶ ἐκλογὴν τῶν λέξεων. Καὶ ὁ Ἑρμογένης λέγει περὶ τοῦ Λυσίου ἐρωτικοῦ οὕτω· . . . . . . Καὶ τοῦτο ἐστι τὸ κάλλος ὅμως δοκεῖ τινὶ Πλάτων εἰπεῖν, φάσκων δεῖν ἔχειν τὸν λόγον κεφαλήν τε καὶ ἄκρα καὶ μέσα πρέποντα ἀλλήλοις τε καὶ τῷ ὅλῳ σώματι, ἀλλὰ μὴ χύδην ἕκαστα βεβλῆσθαι, εἰ καὶ καλὰ εἴη καθ' ἑαυτά· οὐ γὰρ δύνασθαί ποτε οὕτω γενέσθαι καλὸν λόγον. Καὶ τοῦτο αἰτιᾶται γε τοῦ Λυσίου ἐρωτικοῦ, ὡς ταῖς ἐννοίαις οὐκ ἐναρμόστως αὐτοῦ χρησαμένου, οὐδὲ τῇ τάξει. Οὐ μὲν τὰς ἐννοίας γε αὐτὰς αἰτιᾶται, οὐδὲ τὴν λέξιν, ἐπεὶ ταῖς γε ἐννοίαις καὶ αὐτὸς χρῆται ταῖς αὐταῖς· τὴν δ' ἂν λέξιν καὶ πάνυ ἐπαινεῖ, σφόδρα εὖ φάσκων τοῖς τε ὀνόμασι καὶ ῥήμασι τὸν λόγον ἀποτετορνεῦσθαι, καὶ οὐκ ἀγεννῶς εἰρῆσθαι τὸ ἔπιον τῷ ῥήτορι.«

17. Ἀρχιλόχου) Λυρικὸς ποιητὴς ἐκ τῆς Πάρου, τοῦ ὁποίου τὰ ποιήματα ἦσαν πλήρη αἰσχρολογίας καὶ κακολογίας δηκτικῆς. Διὰ τοῦτο μέχρι τινὸς ἦτον ἀπηγορευμένον εἰς τὴν Σπάρτην νὰ ἀναγινώσκωνται τὰ ποιήματα αὐτοῦ. Λέγεται δέ, ὅτι Λυκάμβης τις, μὴ δυνάμενος νὰ ὑποφέρῃ τὰ σκώμματα αὐτοῦ ἀπηγχονίσθη μετὰ τῶν θυγατρῶν του.

— Παρμενίδου) Εἷς τῶν ἐπιστημοτέρων ἀρχαίων φιλοσόφων ἐξ Ἐλέας, ὅστις ἔγραψεν ἐμμέτρως ὅλας τὰς φιλοσοφικάς του ἰδέας. Ἦτο δὲ ἡ στιχουργία αὐτοῦ ὄχι τόσον ἀκριβής.

— Φωκυλίδου) Φιλόσοφος καὶ ποιητὴς ὡσαύτως καὶ οὗτος ἐκ Μιλήτου, σύγχρονος τοῦ Σόλωνος, τοῦ ὁποίου σώζονται στίχοι τινὲς γνωμικοί.

— Εὐριπίδου) Τραγῳδοποιὸς Ἀθηναῖος γεννηθεὶς ἐν Σαλαμῖνι ὅπου εἶχε καταφύγει ὁ πατήρ του Κινήσαρχος μετὰ τῆς μητρός του Κλειτοῦς κατὰ τὴν εἰς Ἀττικὴν εἰσβολὴν τοῦ Ξέρξου ὅστις, ἂν καὶ κατώτερος τοῦ Σοφοκλέους εἰς τὴν τέχνην, εἶναι ὅμως ὁ τραγικώτατος τῶν τραγικῶν. Ἐκ τῶν 75 δὲ ἢ κατ' ἄλλους 92 τραγῳδιῶν αὐτοῦ διεσώθησαν δεκαεννέα καί τινα ἀποσπάσματα τῶν ἄλλων. Περὶ δὲ τῆς λαλιᾶς αὐτοῦ εἰμπορεῖ τις νὰ ἀναγνώσῃ τοὺς βατράχους τοῦ Ἀριστοφάνους, ἔνθα παρῳδοῦνται διάφορα μέρη τῶν τραγῳδιῶν ἢ αὐτοῦ ἢ ἄλλων ποιητῶν.

— Σοφοκλέους) Τραγῳδοποιὸς Ἀθηναῖος, ὁ τεχνικώτατος καὶ τελειότατος ἁπάντων, σύγχρονος μέν, ἀλλὰ νεώτερος καὶ ἀντίζηλος τοῦ Αἰσχύλου. Ἔγραψε δὲ ὑπὲρ τὰς ἑκατὸν τραγῳδίας, ἐκ τῶν ὁποίων 7 ὁλόκληροι σώζονται καί τινα ἀποσπάσματα. Ἀνωμαλίαν δὲ κατηγοροῦσι τοῦ Σοφοκλέους ὄχι περὶ τὸν χαρακτῆρα τῶν προσώπων τοῦ δράματος, ἢ τὴν διάταξιν αὐτοῦ, ἀλλὰ περὶ τὴν φράσιν, ἥτις ἐνίοτε μὲν εἶναι σοβαρά, ὑψηλὴ καὶ ἀληθῶς ἁρμόζουσα εἰς τραγικὴν μοῦσαν, ἄλλοτε δὲ ταπεινή, ἐξομοιουμένη μᾶλλον μὲ τὸν πεζὸν λόγον.

σιν εὐπορίαν εἶναι καὶ ἀφθονίαν τοῦ φιλοφρονεῖσθαι τοὺς λέγον-
19 τας. Ἐνίοις γὰρ ἐξαρκεῖ, κἂν μὴ διὰ φωνῆς ἐπιμαρτυρῶμεν, ὄμ-
ματος πρᾳότητα, καὶ γαλήνην προσώπου καὶ διάθεσιν εὐμενῆ
20 καὶ ἄλυπον ἐμφανίζειν. Ἐκεῖνα μὲν γὰρ ἤδη καὶ πρὸς τοὺς
ὅλως ἀποτυγχάνοντας, ὥσπερ ἐγκύκλια καὶ κοινὰ πάσης ἀκροά-
σεώς ἐστι, καθέδρα τέ τις ἄτυφος καὶ ἀκλινὴς ἐν ὀρθῷ σχήματι,
καὶ πρόσβλεψις αὐτῷ τῷ λέγοντι, καὶ τάξις ἐναργοῦς προσοχῆς,
καὶ προσώπου κατάστασις καθαρὰ καὶ ἀνέμφατος, οὐχ ὕβρεως
οὐδὲ δυσκολίας μόνον, ἀλλὰ καὶ φροντίδων ἄλλων καὶ ἀσχολιῶν.
21 Ὡς ἐν ἔργῳ δὲ παντί, τὸ μὲν καλὸν ἐκ πολλῶν οἷον ἀριθμῶν εἰς
ἕνα καιρὸν ἡκόντων, ὑπὸ συμμετρίας τινὸς καὶ ἁρμονίας ἐπι-
τελεῖται· τὸ δ᾽ αἰσχρόν, ἐξ ἑνὸς τοῦ τυχόντος ἐλλείποντος, ἢ προ-
σόντος ἀτόπως, εὐθὺς ἑτοίμην ἔχει τὴν γένεσιν· ὥσπερ ἐπ᾽ αὐτῆς
τῆς ἀκροάσεως, οὐ μόνον βαρύτης ἐπισκυνίου, καὶ ἀηδία προσώ-
που, καὶ βλέμμα ῥεμβῶδες, καὶ περίκλασις σώματος, καὶ μηρῶν
ἐπάλλαξις ἀπρεπής, ἀλλὰ καὶ νεῦμα, καὶ ψιθυρισμὸς πρὸς ἕ-
τερον, καὶ μειδίαμα, χάσμαι τε ὑπνώδεις, καὶ κατήφειαι, καὶ
πᾶν, εἴ τι τούτοις ἔοικεν, ὑπεύθυνόν ἐστι, καὶ δεῖται πολλῆς
εὐλαβείας.

ιδ΄. Οἱ δὲ τοῦ μὲν λέγοντος οἴονταί τι ἔργον εἶναι, τοῦ δὲ ἀ-
κούοντος οὐδέν· ἀλλ᾽ ἐκεῖνον μὲν ἀξιοῦσιν ἥκειν πεφροντικότα
καὶ παρεσκευασμένον, αὐτοὶ δὲ ἄσκεπτοι καὶ ἀφρόντιδες τῶν
καθηκόντων ἐμβαλόντες, καθέζονται καθάπερ ἀτεχνῶς ἐπὶ δεῖ-
2 πνον ἥκοντες, εὖ παθεῖν πονουμένων ἑτέρων. Καίτοι καὶ συνδεί-
3 πνου τι χαρίεντος ἔργον ἐστί, πολὺ δὲ μᾶλλον ἀκροατοῦ. Κοι-
νωνὸς γάρ ἐστι τοῦ λόγου καὶ συνεργὸς τοῦ λέγοντος· καὶ οὐ τὰ
μὲν ἐκείνου πλημμελήματα πικρῶς ἐξετάζειν ὀφείλει, κατὰ ῥῆμα
καὶ πρᾶγμα προάγων τὴν εὐθύνην· αὐτὸς δὲ ἀνεύθυνος ἀσχημονεῖν
4 καὶ πολλὰ σολοικίζειν περὶ τὴν ἀκρόασιν. Ἀλλ᾽ ὥσπερ ἐν τῷ
σφαιρίζειν τῷ βαλόντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι
τὸν δεχόμενον· οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία καὶ περὶ

20. Ἐγκύκλια) Κατὰ τὸν Ἡσύχιον »Ἔγκυκλα, τὰ ἐγκυκλούμενα τῷ βίῳ, καὶ συνήθη. Ταὐτοδύναμον δὲ μὲ τοῦτο ἐν μᾶλλον εὔχρηστον εἶναι καὶ τὸ ἐγκύκλιον.

21. Ἐπάλλαξις) Ἄκοσμον ἐθεώρουν οἱ ἀρχαῖοι τὴν τοιαύτην καθέδραν. »Καὶ αἱ τίτθαι τοῖς παιδαρίοις ταῦτα λέγουσι, καὶ οἱ γραμματισταί, καὶ οἱ παιδαγωγοί· ὑπερεμπίπλασθαί σε ἂν χρή, καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς ὅτι χρὴ κοσμίως, καὶ τοῖς πρεσβυτέροις ὑπανίστασθαι, καὶ τοὺς γονέας φιλεῖν, καὶ μὴ θορυβεῖν, μηδὲ κυβεύειν, μηδ᾽ ἴσχειν, εἰ βούλει, τὼ πόδε ἐπαλλάξ.« Ἀριστείδης.

ιδ΄. 3. Σολοικίζειν) »Σολοικισμός ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν. Ἀπὸ ταύτης δὲ τῆς σημασίας μεταφέρεται ἡ λέξις ἐπὶ τὰς κατὰ τὸν βίον ἡμαρτημένας πράξεις τοῦ ἀνθρώπου, ὡς παρὰ Γαληνῷ. Ἄμεινον γάρ ἐστι τῇ φωνῇ μᾶλλον ἢ τῷ βίῳ σολοικίζειν.»

τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον
αὑτῷ φυλάττῃ.

ιέ. Δεῖ δὲ μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων, ὡς ἔτυχε, χρῆσθαι.
Καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις, Κροτο- 2
θορύβους γίγνεσθαι παρ' αὐτῶν λέγων, ἀηδής ἐστιν. Οἱ δὲ τὰς 3
ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες, οὗτοι καὶ Θείως,
καὶ Θεοφορήτως, καὶ Ἀπροσίτως ἐπιλέγοντες, ὡς οὐκ ἔτι τοῦ
Καλῶς καὶ τοῦ Σοφῶς καὶ τοῦ Ἀληθῶς ἐξαρκοῦντος, οἷς οἱ
περὶ Πλάτωνα καὶ Σωκράτην καὶ Ὑπερίδην ἐχρῶντο σημείοις
τῶν ἐπαίνων, ὑπερασχημονοῦσι, καὶ διαβάλλουσι τοὺς λέγοντας,
ὡς ὑπερηφάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. Σφόδρα 4
δὲ ἀηδεῖς εἰσι καὶ οἱ μεθ' ὅρκου τοῖς λέγουσιν, ὥσπερ ἐν δικα-
στηρίῳ, τὰς μαρτυρίας ἀποδιδόντες. Οὐχ ἧττον δὲ τούτων, οἱ 5
περὶ τὰς ποιότητας ἀστοχοῦντες, ὅταν φιλοσόφῳ μὲν ἐπιφωνῶσι
Δριμέως, γέροντι δὲ Εὐφυῶς ἢ Ἀνθηρῶς, τὰς τῶν παιζόντων
καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ
τοὺς φιλοσόφους μετακομίζοντες, καὶ λόγῳ σωφρονοῦντι προ-
σφέροντες ἔπαινον ἑταιρικόν, ὥσπερ ἀθλητῇ κρίνων ἢ ῥόδων στέ-
φανον, οὐ δάφνης οὐδὲ κοτίνου περιτιθέντες. Εὐριπίδης μὲν οὖν 6
ὁ ποιητής, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πε-
ποιημένην ἐφ' ἁρμονίας, εἷς ἐγέλασεν, »Εἰ μή τις, ἔφη, ἧς ἀ-
ναίσθητος καὶ ἀπαθής, οὐκ ἂν ἐγέλας ἐμοῦ μιξολυδιστὶ ᾄδοντος«.
Ἀνὴρ δ' ἂν οἶμαι φιλόσοφος καὶ πολιτικὸς ἀκροατοῦ διακεχυ- 7
μένου τρυφὴν ἐκκόψειεν εἰπών, »Σύ μοι δοκεῖς ἀνόητος εἶναι καὶ
ἀνάγωγος· οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος, ἢ νουθετοῦντος, ἢ δια-
λεγομένου περὶ θεῶν, ἢ πολιτείας, ἢ ἀρχῆς, ἐτερέτιζες καὶ προ-
σωρχοῦ τοῖς λόγοις.« Ὅρα γὰρ ἀληθῶς, οἷόν ἐστι, φιλοσόφου 8
λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν, ὑπὸ τῶν ἔνδον βοώντων καὶ
ἀλαλαζόντων, πότερον αὐλοῦντος, ἢ κιθαρίζοντος, ἢ ὀρχουμένου
τινὸς ὁ ἔπαινός ἐστι.

ις'. Καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων οὔτε ἀ-
ναλγήτως, οὔτε ἀνάνδρως ἀκουστέον. Οἵ τε γὰρ εὐκόλως καὶ 2
ὀλιγώρως τὸ κακῶς ἀκούειν ὑπὸ τῶν φιλοσόφων φέροντες, ὥστε
γελᾶν ἐλεγχόμενοι, καὶ τοὺς ἐλέγχοντας ἐπαινεῖν, ὥσπερ οἱ πα-

---

ιέ. 2. Κροτοθορύβους) Ἐπικούρειος ἡ λέξις ἀντὶ τοὺς κρότους καὶ θορύβους.

6. Μιξολυδιστὶ) Ἡ μιξολυδιστὶ ἁρμονία ἥρμοζεν εἰς τὰς τραγῳδίας μᾶλλον. »Καὶ μιξολύδιος δὲ παθητική τίς ἐστι, τραγῳδίαις ἁρμόζουσα. Ἀριστόξενος δέ φησι, Σαπφὼ πρώτην εὕρασθαι τὴν μιξολυδιστί, παρ' ἧς τοὺς τραγικοὺς μαθεῖν.« Πλούτ. περὶ Μουσ. Ὁ δὲ Πλάτων συναριθμεῖ αὐτὴν εἰς τὰς θρηνώδεις. »Τίνες οὖν θρηνώδεις ἁρμονίαι; λέγε μοι· σὺ γὰρ μουσικός. Μιξολυδιστί, ἔφη, καὶ συντονολυδιστί, καὶ τοιαῦταί τινες.«

ράσιτοι τοὺς τρέφοντας, ὅταν ὑπ' αὐτῶν λοιδορῶνται, παντάπασιν ἰταμοὶ καὶ θρασεῖς ὄντες, οὐ καλὴν, οὐδ' ἀληθῆ διδόασιν
3 ἀπόδειξιν ἀνδρείας, τὴν ἀναισχυντίαν. Σκῶμμα μὲν γὰρ ἀνύβριστον ἐν παιδιᾷ τινι μετ' εὐτραπελίας ἀφειμένον ἐνεγκεῖν ἀλύπως καὶ ἱλαρῶς, οὐκ ἀγεννὲς οὐδ' ἀπαίδευτον, ἀλλ' ἐλευθέριον πάνυ καὶ Λακωνικόν ἐστιν· ἐπαφῆς δὲ καὶ νουθεσίας πρὸς ἐπανόρθωσιν ἤθους ὥσπερ φαρμάκῳ δάκνοντι λόγῳ χρωμένης ἐλέγχοντι, μὴ συνεσταλμένον ἀκούειν, μηδ' ἱδρῶτος καὶ ἰλίγγου μεστὸν, αἰσχύνῃ φλεγόμενον τὴν ψυχὴν, ἀλλ' ἄτρεπτον καὶ σεσηρότα καὶ κατειρωνευόμενον, ἀνελευθέρου τινὸς δεινῶς καὶ ἀπαθοῦς πρὸς τὸ αἰδεῖσθαι νέου διὰ συνήθειαν ἁμαρτημάτων καὶ συνέχειαν, ὥσπερ ἐν σκληρᾷ σαρκὶ καὶ τυλώδει τῇ ψυχῇ
4 μώλωπα μὴ λαμβάνοντος. Τούτων δὲ τοιούτων ὄντων, οἱ τὴν ἐναντίαν διάθεσιν ἔχοντες νέοι, κἂν ἅπαξ κακῶς ποτε ἀκούσωσι, φεύγοντες ἀνεπιστρεπτὶ καὶ δραπετεύοντες ἐκ φιλοσοφίας, καλὴν ἀρχὴν πρὸς τὸ σωθῆναι, τὸ αἰδεῖσθαι παρὰ τῆς φύσεως ἔχοντες, ἀπολλύουσιν διὰ τρυφὴν καὶ μαλακίαν, οὐκ ἐγκαρτεροῦντες τοῖς ἐλέγχοις, οὐδὲ τὰς ἐπανωρθώσεις δεχόμενοι γενικῶς, ἀλλ' ἐπὶ τὰς προσηνεῖς καὶ ἁπαλὰς ἀποστρέφοντες ὁμιλίας τὰ ὦτα, κολάκων τινῶν ἢ σοφιστῶν ἀνωφελεῖς καὶ ἀνοήτους, ἡδείας δὲ
5 φωνὰς καταδόντων. Ὥσπερ οὖν ὁ μετὰ τὴν τομὴν φεύγων τὸν ἰατρὸν, καὶ τὸν ἐπίδεσμον μὴ προσιέμενος, τὸ μὲν ἀλγεινὸν ἀνεδέξατο, ὁ δ' ὠφέλιμον οὐχ ὑπέμεινε τῆς θεραπείας· οὕτως ὁ τῷ χαράξαντι καὶ τρώσαντι λόγῳ τὴν ἀβελτηρίαν ἀπουλῶσαι καὶ καταστῆσαι μὴ παρασχὼν, ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ἐκ
6 φιλοσοφίας, ὠφεληθεὶς δὲ μηδέν. Οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησὶ, τὸ Τηλέφου τραῦμα

Πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν,

ἀλλὰ καὶ τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν
7 αὐτὸς ὁ τρώσας λόγος ἰᾶται. Διὸ δεῖ πάσχειν μέν τι καὶ δάκνεσθαι, μὴ συντρίβεσθαι δὲ, μηδὲ ἀθυμεῖν τὸν ἐλεγχόμενον, ἀλλ' ὥσπερ ἐν τελετῇ κατηργμένης αὐτοῦ φιλοσοφίας, τοὺς πρώ-

---

ις'. 3. Λακωνικὸν) »Εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι· καὶ λόγων ἠκροῶντο πολιτικῶν, καὶ παιδευτὰς ἐλευθερίους ἑώρων, αὐτοί τε παίζειν εἰθίζοντο καὶ σκώπτειν ἄνευ βωμολοχίας, καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν· σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο Λακωνικὸν εἶναι, σκώμματος ἀνέχεσθαι· μηδὲ φέροντα δὲ ἐξῆν παραιτεῖσθαι, καὶ ὁ σκώπτων ἐπέπαυτο. Πλούταρ. ἐν Λυκούρ. — Ἐπαφῆς) Ἐπιπλήξεως.

5. Ἐπίδεσμον) Ἄλλως ἐπιδεσμὶς, ἢ ἐπίδεσμα.

6. Τηλέφου) Ὁ Τήλεφος, υἱὸς τοῦ Ἡρακλέους, βασιλεύων εἰς τὴν Μυσίαν μετὰ τὸν θάνατον τοῦ Τεύθρα, ἐτρώθη ὑπὸ τοῦ Ἀχιλλέως εἴς τινα κατὰ τῶν Ἑλλήνων μάχην. »Ὁ Τήλεφος οἰκείου μὴ

ΙΩΑΝΝΙΝΑ 2006

τους καθαρμοὺς καὶ θορύβους ἀνασχόμενον, ἐλπίζειν τὶ γλυκὺ
καὶ λαμπρὸν ἐκ τῆς παρούσης ἀδημονίας καὶ ταραχῆς. Καὶ 8
γὰρ ἂν ἀδίκως ἡ ἐπιτίμησις γίνεσθαι δοκῇ, καλὸν ἀνασχέσθαι
καὶ διακαρτερῆσαι λέγοντος· παυσαμένῳ δὲ αὐτὸν ἐντυχεῖν ἀ-
ἀπολογούμενον, καὶ δεόμενον τὴν παῤῥησίαν ἐκείνην καὶ τὸν
τόνον, ᾧ νῦν κέχρηται πρὸς αὐτὸν, εἴς τι τῶν ἀληθῶς ἁμαρτα-
νομένων φυλάττειν.

ιζ. Ἔτι τοίνυν ὥσπερ ἐν γράμμασι καὶ περὶ λύραν καὶ πα-
λαίστραν αἱ πρὸς τὰς μαθήσεις ἀρχαὶ πολὺν ἔχουσι θόρυβον
καὶ πόνον καὶ ἀσάφειαν, εἶτα προϊόντι κατὰ μικρὸν ὥσπερ πρὸς
ἀνθρώπους συνήθεια πολλὴ καὶ γνῶσις ἐγγενομένη, πάντα φίλα
καὶ χειροήθη καὶ ῥᾴδια, λέγειν τε καὶ πράττειν παρέσχεν· οὕτω
δὴ καὶ φιλοσοφίας ἐχούσης τὶ καὶ γλίσχρον ἀμέλει καὶ ἀσύ-
νηθες ἐν τοῖς πρώτοις ὀνόμασι καὶ πράγμασιν, οὐ δεῖ φοβη-
θέντας τὰς ἀρχὰς ψοφοδεῶς καὶ ἀτόλμως ἐγκαταλιπεῖν· ἀλλὰ
πειρώμενον ἑκάστου καὶ προσλιπαροῦντα, καὶ γλιχόμενον τοῦ
πρόσω, τὴν πᾶν τὸ καλὸν ἡδὺ ποιοῦσαν ἀναμένειν συνήθειαν.
Ἥξει γὰρ οὐ διὰ μακροῦ, πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει, 2
καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦσα πρὸς τὴν ἀρετήν· ὧν ἄνευ, πάνυ
τλήμονος ἀνδρός ἐστιν ἢ δειλοῦ, τὸν ἄλλον ὑπομένειν βίον, ἐκ-
πεσόντα δι' ἀνανδρίαν φιλοσοφίας. Ἴσως μὲν οὖν ἔχει τι καὶ τὰ 3
πράγματα τοῖς ἀπείροις καὶ νέοις ἐν ἀρχῇ δυσκατανόητον· οὐ μὴν
ἀλλὰ τῇ γε πλείστῃ περιπίπτουσιν ἀσαφείᾳ καὶ ἀγνοίᾳ δι' αὐ-
τούς, ἀπ' ἐναντίων φύσεων ταὐτὸν ἁμαρτάνοντες. Οἱ μὲν γὰρ 4
αἰσχύνῃ τινὶ καὶ φειδοῖ τοῦ λέγοντος ὀκνοῦντες ἀνέρεσθαι καὶ
βεβαιώσασθαι τὸν λόγον, ὡς ἔχοντες ἐν νῷ συνεπινεύουσιν· οἱ
δ' ὑπὸ φιλοτιμίας ἀώρου καὶ κενῆς πρὸς ἑτέρους ἁμίλλης, ὀ-
ξύτητα καὶ δύναμιν εὐμαθείας ἐπιδεικνύμενοι, πρὶν ἢ λαβεῖν,
ἔχειν ὁμολογοῦντες, οὐ λαμβάνουσιν. Εἶτα συμβαίνει τοῖς μὲν 5
αἰδήμοσιν καὶ σιωπηλοῖς ἐκείνοις, ὅταν ἀπέλθωσι, λυπεῖν αὐτοὺς
καὶ ἀπορεῖσθαι, καὶ τέλος αὖθις ὑπ' ἀνάγκης ἐλαυνομένους, σὺν
αἰσχύνῃ μείζονι τοῖς εἰποῦσιν ἐνοχλεῖν, ἀναπυνθανομένους, καὶ
μεταθέοντας· τοῖς δὲ φιλοτίμοις καὶ θρασέσιν ἀεὶ περιστέλλειν
καὶ ἀποκρύπτειν συνοικοῦσαν τὴν ἀμαθίαν.

ιη. Πᾶσαν οὖν ἀπωσάμενοι τὴν τοσαύτην βλακείαν καὶ ἀλα-
ζονείαν, πρὸς τὸ μαθεῖν καὶ περιλαβεῖν τῇ διανοίᾳ τὸ χρη-

---

τυγχάνων ἰατροῦ, τῷ πολεμικῷ δόρατι τὸ ἕλκος ὑπέθηκε.« Πλούτ.

ιζ. 5. Ἀμαθίαν) Κατὰ τὸ τοῦ Ἡρακλείτου. »Κρύπτειν ἀμαθίαν κρεῖσσον ἢ ἐς τὸ μέσον φέρειν.«



Ε. Γ. της Κ. ΙΩΑΝΝΙΝΑ 2006

σίμως λεγόμενον ὄντες, ὑπομένωμεν τοὺς τῶν εὐφυῶν δοκούντων γέλωτας· ὥσπερ ὁ Κλεάνθης καὶ ὁ Ξενοκράτης, βραδύτεροι δοκοῦντες εἶναι τῶν συσχολαστῶν, οὐκ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν, οὐδὲ ἀπέκαμνον, ἀλλὰ φθάνοντες εἰς ἑαυτοὺς ἔπαιζον, ἀγγείοις τε βραχυστόμοις, καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μόλις μὲν παραδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βε-
2 βαίως τηροῦντες. Οὐ γὰρ μόνον, ὥς φησι Φωκυλίδης,

Πόλλ᾿ ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλὸν,

ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλὰ, καὶ ἀδοξῆσαι, καὶ σκώμματα καὶ βωμολοχίας ἀναδεξάμενον, ὤσασθαι παντὶ τῷ θυμῷ καὶ
3 καταθλῆσαι τὴν ἀμαθίαν. Οὐ μὴν οὐδὲ τῆς πρὸς τοὐναντίον ἁμαρτίας ἀμελητέον, ἣν ἁμαρτάνουσιν οἱ μὲν ὑπὸ νωθείας, ἀηδεῖς καὶ κοπώδεις ὄντες· οὐ γὰρ ἐθέλουσι γενόμενοι καθ᾿ αὑτοὺς πράγματα ἔχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι, πολλάκις ἐκπυνθανόμενοι περὶ τῶν αὐτῶν· ὥσπερ ἀπτῆνες νεοσσοί, κεχηνότες ἀεὶ πρὸς ἀλλότριον στόμα, καὶ πᾶν ἕτοιμον ἤδη καὶ διαπεπονη-
4 μένον ὑπ᾿ ἄλλων ἐκλαβάνειν ἐθέλοντες. Ἕτεροι δὲ, προσοχῆς καὶ δριμύτητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν, ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων, καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων· οὕτως

— ὁδὸς βραχεῖα γίνεται μακρὰ,

ὥς φησι Σοφοκλῆς, οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις.
5 Ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιτταῖς ἐρωτήσεσι τοῦ διδάσκοντος, ὥσπερ ἐν συνοδίᾳ τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς
6 μαθήσεως, ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. Οὗτοι μὲν οὖν, κατὰ τὸν Ἱερώνυμον, ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι σκύλακες τὰ δέρματα δάκνοντες οἴκοι, καὶ τὰ τίλματα τίλλοντες,
7 τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται. Τοὺς δ᾿ ἀργοὺς ἐκείνους παρακαλῶμεν, ὅταν τὰ κεφάλαια τῇ νοήσει περιλάβωσιν, αὐτοὺς δι᾿

---

ιη. Ὄντες) Πρός τι ἢ πρός τινι εἶναι σημαίνει σπουδάζειν, ἐνασχολεῖσθαι εἴς τι.

— Εὐφυῶν) Σκωπτικῶν· διότι εὐφυεῖς ὠνόμαζον οἱ Ἀθηναῖοι τοὺς εἰς τὸ νὰ σκώπτωσιν ἐπιδεξίους. »Οἱ δὲ εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ᾿ ὑπ᾿ ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγὸν (τὸν Δημοσθένη).«

— Κλεάνθης) Καὶ σκωπτόμενος δὲ ὑπὸ τῶν συμμαθητῶν ἠνέσχετο, καὶ ὄνος ἀκούων προσεδέχετο λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον. Διογ. Λαερτ. 211. 170.

— Ξενοκράτης) Ἦν δὲ τὴν φύσιν νωθρὸς ὥστε φασὶ λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει, Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ· καὶ, ἐφ᾿ οἷον ἵππον οἷον ὄνον ἀλείφω. Διογ. Λαερτ. IV. 6.

3. Γενόμενοι καθ᾿ αὑτοὺς) Τουτέστιν ὅτε ἀπὸ τῆς σχολῆς ἐλθόντες οἴκαδε εἶναι μόνοι.

— Νεοσσοὶ) Ὡς δ᾿ ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι μάστακ᾿, ἐπεί κε λάβῃσι, κακῶς δ᾿ ἄρα οἱ πέλει αὐτῇ. Ἰλιάδ. Ι. 323.

4. Ὥς φησι) Ἐν Ἀντιγόνῃ. ϛ΄. 237.

6. Ἱερώνυμον) Ἔνδοξος περιπατητικὸς φιλόσοφος ἐκ τῆς Ῥόδου, συγγράψας πρὸς τοῖς ἄλλοις καὶ περὶ ποιητῶν.

ΙΩΑΝΝΙΝΑ 2006

*αὐτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας, ἐκτρέφειν καὶ αὔξειν. Οὐ γὰρ ὡς ἀγγεῖον, ὁ νοῦς ἀποπληρώσεως,* 8
*ἀλλ' ὑπεκκαύματος μόνον, ὥσπερ ὕλη, δεῖται, ὁρμὴν ἐμποιοῦντος εὑρετικήν, καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. Ὥσπερ* 9
*οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος· οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλου, οὐκ οἴεται δεῖν φῶς οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ ἀκροάσει, κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα, τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δὲ ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ἐκτεθέρμακεν, οὐδὲ ἐξέωκε διὰ φιλοσοφίας. Εἰ δεῖ τινος οὖν πρὸς ἀκρόα-* 10
*σιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νῦν εἰρημένου μνημονεύοντας, ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν· ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικήν, ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.*

## Γ΄. ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

*ά. Τῷ σφόδρα φιλεῖν ἑαυτόν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων διδόναι φησί· κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ' ἧς οὐκ ἔστιν αὑτοῦ κριτὴν δίκαιον οὐδὲ ἀδέκαστον εἶναι· τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. Τοῦτο τῷ* 2
*κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι' ἣν αὐτὸς αὑτοῦ*

---

*ά. Τῷ σφόδρα φιλεῖν ἑαυτόν*) Τὴν γνώμην ταύτην, ὡς καὶ ἄλλας πολλὰς ἐξ Εὐριπίδου παρέλαβεν ὁ Πλάτων. Λέγει δὲ ἐκεῖνος ἐν τοῖς λειψάνοις τῆς τραγῳδίας, ὁ Κρεσφόντης ταῦτα· «Ἐκεῖνο δὴ πέπονθ' ὅπερ πάντες βροτοί, φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι.»
— *Ὦ Ἀντίοχε Φιλόπαππε*) Ὁ Φιλόπαππος οὗτος εἶνε ὁ αὐτὸς τῷ ἐν Συμποσιακοῖς 1, 10 ὑπὸ τοῦ ἡμετέρου συγγραφέως ἀναφερομένου. Λέγεται δὲ ἐκεῖ βασιλεύς, ὡς καταγόμενος ἐκ τοῦ Ἀντιόχου τοῦ τῆς Κομμαγηνῆς βασιλέως. Ὁ δὲ ὁμώνυμος τοῦ ἡμετέρου Ἀντιόχου Ἀντίοχος οὗτος, ἀφαιρεθεὶς τὸν θρόνον ὑπὸ Βεσπασιανοῦ, μετέβη εἰς Ῥώμην μετὰ τῶν δύω υἱῶν του Καλλινίκου καὶ Ἐπιφανοῦς. Τούτου δὲ τοῦ Ἐπιφανοῦς εἶνε υἱὸς ὁ ἡμέτερος Ἀντίοχος, τοῦ ὁποίου καὶ μνημεῖον δείκνυται ἐν Ἀθήναις κατὰ τὸν ἀπέναντι τῆς ἀκροπόλεως λόφον, καλούμενον παρὰ τοῖς ἀρχαίοις Μουσεῖον. Ἴδε Παυσ. 1, 25.

2. *Τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ' ὑμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν*) Ἰδία τῷ Πλουτάρχῳ ἡ ἔκφρασις αὕτη· ὁ δὲ νοῦς τοῦτο (*τυφλοῦται γάρ*. . .) δίδωσιν εἰς τὸν κόλακα πολλὴν τὴν εὐκολίαν ἵνα τοῖς φίλοις ἡμῶν συγκαταλέγηται, ἅτε δυνάμενον νὰ ἐφορμᾷ ἐφ' ἡμᾶς ἀπὸ τῆς φιλαυτίας ὡς ἀφ' ὁρμητηρίου. Δηλοῖ δὲ ἡ λέξις, ὁρμητήριον, θέσιν ὠχυρωμένην, ἀφ' ἧς οἱ πολεμοῦντες ἐπιπίπτουσι τοῖς ἐχθροῖς, καὶ εἰς ἣν ἀποχωροῦσιν ἂν κινδυνεύωσιν.